# Die Bürgschaft (schwer) (nach Aristoxenos)



Schwacher und starker Aorist Aktiv und Passiv, μι-Verben, Wurzelaorist, indirekte Erzählweise, Nebensätze mit Konjunktiv

Schillers Fassung: http://de.wikisource.org/wiki/Die_Bürgschaft

Διονύσιος ὁ τύραννος βουλόμενός ποτε πειράσασθαι τῆς ἐνδόξου τῶν Πυθαγορείων φιλίας λεγόντων τινῶν οὐκ ἐμμένειν αὐτοὺς τῇ πρὸς ἀλλήλους πίστει, ἐὰν συλληφθῶσιν, ἐμηχανήσατο τόδε·

Συνελήφθη μὲν Φιντίας, τῶν Πυπαγορείων τις, καὶ ἤχθη πρὸς τὸν τύραννον. Κατηγορῆσαι δ' αὐτοῦ φασι Διονύσιον ὡς ἐπιβουλεύοντος αὐτῷ καὶ ἐξελέγξαι κρῖναι τ' ἀποθανεῖν αὐτόν. Τὸν δ', ἐπειδὴ οὕτω τῷ Διονυσίῳ ἐδέδοκτο, δεηθῆναι δοθῆναι οἷ[1] τὸ λοιπὸν τῆς ἡμέρας, ὅπως διαθῆται τὰ ἑαυτοῦ· βούλεσθαι γὰρ ἐκδοῦναι τὴν ἀδελφήν· παραιτήσασθαι δ' ἀφεθῆναι παρασχόντα Δάμωνα τὸν φίλον ἐγγυησόμενον.

Συγχωρήσαντος δὲ τοῦ Διονυσίου μεταπεμφθέντα τὸν Δάμωνα καὶ τὰ σύμπαντα ἀκούσαντα ἐγγυήσασθαι καὶ μεῖναι, ἕως ἂν ἐπανέλθῃ ὁ Φιντίας. Τὸν μὲν οὖν Διονύσιον ἐκπεπλῆχθαι ἐπὶ τοῖς γιγνομένοις, τοὺς δὲ ἐξ ἀρχῆς πειράσασθαι Φιντίου Διονυσίῳ συμβουλεύσαντας καταγελᾶν τοῦ Δάμωνος ὡς καταλειφθησομένου λέγοντας οἴχεσθαι τὸν Φιντίαν καὶ μήποτε ἐπανελθεῖν.

Μέλλοντος δὲ τοῦ ἡλίου δῦναι ἀφικέσθαι τὸν Φιντίαν ἀποθανούμενον, ἐφ' ᾧ πάντας ἐκπλαγῆναι, τὸν δὲ Διονύσιον περιβαλόντα καὶ φιλήσαντα τοὺς ἄνδρας δεηθῆναι τρίτον αὐτὸν εἰς τὴν φιλίαν παραδέξασθαι· τοὺς δὲ μηδενὶ τρόπῳ καίπερ πολλὰ δεομένου αὐτοῦ προσθέσθαι τῷ λόγῳ.

[1] οἷ = αὐτῷ